ἢ γυναικός.

§. Φμϛʹ. Αἳ γε μὴν εἰς ος δυσύλλαβοι ὀξύνονται. βοὸς, γραός. ἡ δὲ λαος, κατὰ συναίρεσιν ἐκ τρισυλλάβου τῆς λάαος. ἢ ἡ κῆρος, ἢ ἦρος, ὁμοίως ἐκ τῆς κέαρος, ἢ ἔαρος. τὸ δὲ μιᾶς, Ἰωνικῶς ἔχει τὴν τάσιν. Ἐπὶ μέν τοι τῶν Μετοχῶν, ἢ αἱ εἰς ος δισύλλαβοι βαρύνονται. βάντος, στάντος.

## Δοτικὴ Ἑνικῶν.

§. Φμζʹ. Ἡ δὲ Δοτικὴ καθόλου τὸν τῆς Γενικῆς ἴσχει τόνον, ἢ χρόνον. Αἰνείου, Αἰνείᾳ. μεταπεπλασμένη δὲ, ἀεὶ προπαροξύνεται. διχόμηνι, πολυπάταγι, μελίκρατι.

## Αἰτιατικὴ Ἑνικῶν.

§ Φμή. Ἡ δὲ Αἰτιατικὴ ἐπὶ αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ᾽ ἧς ἢ ἡ Γενική. Πλὴν τῶν πεμπτοκλίτων, ὧν ἡ γενικὴ δισύλλαβος εἰς ος. ἐπὶ τούτων γὰρ ἀνάγκη τὰς μὲν Γενικὰς ὀξύνεσθαι. διὸς, βοός. τὰς δὲ Αἰτιατικὰς παροξύνεσθαι. τὸν βόα, τὸν δία. ἐξαιρείσθω τὸ θυγάτερα. πεπονθὸς γάρ ἢ τὸ ἄνδρα ὁμοίως, ἢ τὸ γυναῖκα.

§. Φμθʹ. Καὶ περισπῶνται δὲ αἱ μονοσύλλαβοι Αἰτιατικαὶ εἰς ν λήγουσαι. κλεῖν, λῖν, μῦν, σῦν.

## Κλητικὴ Ἑνικῶν.

§. Φνʹ. Ἡ δὲ Κλητικὴ ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, ἐφ᾽ ἧς ἢ ἡ Εὐθεῖα. Πλὴν τῶν πεμπτοκλίτων εἰς ης, συνθέτων, κυρίων, βαρυτόνων, ἢ ἢ περισπωμένων ἐκ συναιρέσεως. ἐπὶ τούτων γὰρ ἀναβιβάζεται ὁ τόνος. ὁ Δημοσθένης, ὦ Δημόσθενες. ὁ Ἡρακλῆς, ὦ Ἡράκλεες,